# ΦΙΛΟΘΕ'ΟΥ

# ΠΑ'ΡΕΡΓΑ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΤΜΗ͂ΜΑ. Α'.

Ἡ μὲν παροιμία σιωπῆς ἀκίνδυνον γέρας εἶναί φησιν, ἀλλὰ κατὰ τὴν παροῦσαν τοῦ χρόνου φορὰν ἀγέραστος ἡ σιωπή, τὸ δὲ λάλον τιμᾶται καὶ θριαμβεύει. Καὶ ἰατρῶν μὲν παῖδες ἄδιψον εἶναί φασι τὴν σιωπήν, τῇ δὲ καθ' ἡμέραν πείρᾳ οἱ σιγὴν ἀσπαζόμενοι οὐ μόνον διψῶσιν, ἀλλὰ καὶ λιμώττουσιν. Οὐκοῦν λόγοις οὐδὲν ἧττον, ἢ κέρμασιν ὤνια πρόκειται τὰ ἐν τῷ βίῳ καλὰ κἀγαθά, καὶ ἐν δίκῃ αὐτὸς ἐμαυτοῦ κατηγορῶ· τὸν γὰρ παρελθόντα χρόνον οὐ διὰ τῆς λεωφόρου χωρίσας, ἀλλ' ἀκαίρῳ ζήλῳ ἐπὶ τῇ τῶν παλαιῶν ἀκριβείᾳ ὅλως ἐπτοημένος, ἐπεὶ οὐκ εἶχον ᾆσαι κατ' ἀηδόνα, τὸ ἀμυ-

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

σον μὲν, λαλίστατον δὲ τῆς χελιδόνος οὐκ ἐμιμησάμην. νῦν δὲ παλινῳδίαν ᾄδω, καὶ οὐκ αἰσχύνομαι τοσούτους καὶ τηλικούτους μιμούμενος, οἳ τὰ ἐπιόντα λέγειν, καὶ γραφῇ παραδιδόναι μηδαμῶς ὀκνοῦντες, ἐπαίνων οὐκ ὀλίγων παρά γε τῶν πολλῶν ἐπιτυγχάνουσιν. Ἀντιβολῶ δὲ τὸν μετὰ χεῖρας λαμβάνοντα τὰ ὡς ἔτυχε παρ' ἐμοῦ γραφόμενα, οὕτω πως αὐτοῖς ὁμιλῆσαι, ὥστε οὔτε νοημάτων ὑψηλοτέρων, οὔτ' ἀνθηρᾶς ἰδέας λόγου ἐν προσδοκίᾳ ὅλως γενέσθαι, εἰ δὲ τύχοι ἀμφιλαφῆ σχολὴν ἄγων, βίβλων ἀξιολόγων ἀμοιρῶν, κεχαρισμένης πεπαιδευμένων φίλων ὁμιλίας πόῤῥω ποι τὰς διατριβὰς ποιούμενος, ἐπειδὰν τῆς καθ' αὐτὸν μελέτης, καὶ θεωρίας ἤδη κόρον λάβοι, καὶ ἴσως ἀμωσγέπως ψυχαγωγηθεὶς, ἥδύτερον εἰς ὕπνον κατενεχθήσεται· καὶ ταῦτα μὲν ταύτῃ· νῦν δ' ἐπὶ τὴν διήγησιν τραπώμεθα.

Ἐτυγχάνομεν περιπατοῦντες μετὰ τῶν ἑταίρων ἐν Βυζαντίῳ ἐν τῷ ἱπποδρόμῳ, ἐν ᾧ ὁσημέραι συῤῥεῖν εἴωθεν οὐ μόνον ὁ πολὺς ὅμιλος πωλήσοντες, ὠνησόμενοι, ἀπατήσοντες,

τοὺς ἀπλουστέρους τῆς εὐθείας παρατρεψόμενοι, ἢ δόλου δίκας ὑφέξοντες, ἀλλὰ καὶ ὁπόσοις ἔνεστί τι περιττὸν ἀπὸ φύσεως, ἢ τέχνης ἕρμαιον ἐμπορευσάμενοι, κἀκεῖνοι τὰς ὄψεις τῶν πολλῶν, οἳ μὲν αὐτῶν καὶ σχήματι καὶ φωνῇ ἐκπομπεύουσι τὰ ἔνδον καλὰ, καὶ ἄκοντας ἐφελκόμενοι τοὺς ἀπαντῶντας εἰς ἀπόλαυσιν, οἱ δὲ πολυτελέστεροι ὑποκλέπτοντες ἑαυτοὺς, καὶ τὴν ἐπίδειξιν φεύγουσιν ἐοικότες, ταύτῃ πως μᾶλλον ἐπαίρουσι τὸ φιλομαθὲς, καὶ πλείους ἐρεθίζουσιν εἰς ἔρευναν ὡς ἔχει τὸ ἀνθρώπινον, λανθανούσης δήθεν ἀρετῆς· ὥστε ἐκείνων μὲν φειδομένων ἑαυτῶν, τῆς δὲ τῶν φιλοκάλων περιεργίας τὸ περικείμενον αὐτοῖς προσωπεῖον ἀφαιρεμένης, τὸ τελευταῖον ἡ βία τό γε δοκοῦν νικήσασα, ἀνακαλύπτει τοὺς ἔνδον ἀποκειμένους θησαυρούς.

Περιεργότερον δὴ τὰς ὄψεις ἐπιβάλλοντες τοῖς περιοῦσιν, ὁρῶμεν ἄνδρας τρεῖς τὸν Περσικὸν ἐσταλμένους τρόπον, ἠρέμα διαψιθυρίζοντας καὶ ἐπιταχύνοντας τὸν δρόμον, ὑπὸ δὲ φιλοπραγμοσύνης καὶ ἡμεῖς ἀψοφητὶ παρὰ πόδας βαίνοντες, ἀναγνωρίσαι τ᾿ αὐτοὺς ἐθέλοντες, καὶ Ἰτα-

λιςὶ διαλεγομένους κατανενοηκότες, ἐς μείζονα πόθον ἀνεγειγερμένοι ἤδη ἐκ τοὐμφανοῦς προσεβάλομεν τῇ ὁμοίᾳ διαλέκτῳ, μάλα φιλοφρόνως αὐτοὺς ἀσπασάμενοι· οἱ δὲ τῷ αἰφνιδίῳ τῆς ξυντυχίας ἐκπεπληγμένοις ἐοικότες τεταραγμένῃ καὶ διακοπτομένῃ τῇ φωνῇ Περσιςὶ ἀντιδιδόασι τὰς προσαγορεύσεις· ὑποτεμνόμενοι μέντοιγε τὴν περαιτέρω διάλεξιν, πρόσω χωρεῖν ἔσπευδον· ἀλλ' ἐγκειμένοις ἡμῖν καὶ διομνυμένοις οὐμενοῦν ἐάσειν αὐτοὺς, εἴγε μὴ ξυγχωρήσαιεν ἀναπυθέσθαι ὁπόσα ἀφοσιουμένοις τὸ περίεργον βουλητὸν ἡμῖν εἴη, ὑπείκουσιν ἀέκοντίγε θυμῷ, καὶ ὁτὲ μὲν τῷ ἐδάφει προσερείδοντες τὰς ὄψεις, μεταξὺ δὲ ἠρέμα ἀνανεύοντες, καὶ μάλιστα σοβαρῶς ἐπιῤῥίπτοντες εἰς ἡμᾶς τὰ ὄμματα, ἡμῶν οὐδὲν ἧττον τὴν περιέργειαν ἀνακαλύπτουσιν, ἀνερόμενοι γένοςτε ἡμέτερον, καὶ πατρίδα, καὶ θρησκείαν, ἰδέαντε βίου, καὶ τύχην· μαθόντες δὲ ὡς γένος μὲν ἡμῖν τῶν ἄγαν Ἑλλήνων, πατρὶς δὲ αὐτὴ ἡ πόλις, θρησκεία δ' ἡ χριςώνυμος, ἡ ἀμώμητος, καὶ ἀκήρατος, ἰδέα δὲ βίου τὸ καλῶς βιοῦντας εὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

θυμεῖν, καὶ τύχη ὅτε ἀγέρωχος, ὅτε ῥυπαρὰ, τοιούτῳ δὲ βίῳ πρέπουσα. μηδένα καιρὸν ἡμῖν διδόντες, εἰς ἑτέρας αὐτίκα τρέπονται πεύσεις, ἀνερωτῶντες εἰ ὁ βασιλεύων κατὰ χώραν εἴη, ὁποῖός τέ ἐστι τὸ ἦθος, καὶ ὡς ἔχει γνώμης πρὸς τὰ γείτονα φῦλα, ἄν τε ἐξὸν εἴη ὁποιανοῦν θρησκείαν τιμῶντα ἐν τῇ ὑπ' αὐτὸν τὰς διατριβὰς ἀδεῶς ποιεῖσθαι· οὐδ' ὀκνοῦμεν ἡμεῖς οὕτως ἀθρόοις ἐρωτήμασιν ὥς γε ἐγχωρεῖ ἀποκρίνασθαι, ὅπως τοαποτοῦδε ἀδεῶς ἔχοιμεν ἀνερευνᾶν ὁπόσα δεήσειε, τὴν πολυπραγμοσύνην ἐμπιπλάντες.

Οὐκοῦν βασιλεὺς μέν φαμεν, ὦ φίλαι κεφαλαὶ, τέταρτον ἤδη μῆνα ἄπεστι περὶ τὴν ἐν Μακεδονίᾳ Φιλιππούπολιν ἐν σκηναῖς διατρίβων, καὶ ὑπὸ στρατηγῷ τὴν τοῦ Πέλοπος νῆσον καταστρεφόμενος, δυνάμει τε ἰδίᾳ κατορθοῦμενος τὸ ἔργον, καὶ ἀπλέτῳ τῶν Οὐενετῶν ἀτυχίᾳ, σχετλίως ἀφαιρουμένων τὰ πολλῷ πόνῳ καὶ μεγάλαις δαπάναις κτηθέντα, χειροῦνται δ' Ἑλλήνων γένη, μεγάλαις εὐκλείαις αἰῶνα τὸν πάλαι περιβαλόντα, οἷς καὶ μέχρι τοῦδε ἐναπέμει-

νεν ἴχνη οὐ πάμπαν ἐξίτηλα ἀρχαίας μεγαλοψυχίας ϗ ἀγχινοίας. Τῷ δὲ βασιλεῖ ἦθος φρονήσεως, ϗ πολιτικῆς περινοίας μεςὸν, πεῖρα πολύχους τῶν τε κατ᾽ εἰρήνην, ϗ τὸν κατὰ πόλεμον, ἀνδρεία ϗ μεγαλοψυχία τῷ ἀπὸ εὐφυῶν ςρατηγημάτων κλέει ἀκμὴν κοσμουμένη, ϗ τῷ μὲν μύθῳ ὁ Ζεὺς ἀπὸ μήτιος, ἐπειδὰν κατέπιεν αὐτὴν, ἐγκύμων γεννᾷ τὴν ἔνοπλον Ἀθηνᾶν. ὁ δὲ ἡμέτερος βασιλεὺς τιμᾷ τὴν βουλὴν, κόσμον οἴεται τὴν μετ᾽ αὐτῆς φανερὰν συνουσίαν, κοινωνὸν ὁμολογῶν λόγων τε ϗ ἔργων, καίτοιγε μόνος ἱκανὸς ὢν ξυννοῆσαί τε τὰ δέοντα, ϗ ἐς πέρας ἀγαγεῖν τὰ δόξαντα, ἐν ἀπόροις πόρων γονιμώτατος, ἐν κινδύνοις τοῦ δέοντος ἐπηβολώτατος, καιρῷ ϗ πράγμασι διαιτῆσαι πρὸς τὸ κοινῇ συμφέρον εὐφυέςατος, ἀναβολαῖς ἥκιςα ταμιεύεται τὰς ἐγχειρήσεις, τὰς ἀκμὰς τῆς εὐκαιρίας μηδαμῶς προΐεται, αὐτοσχεδίαις ἐπινοίαις καθικνεῖται τοῦ μυελοῦ, ὡς ἔπος εἰπεῖν, τῶν ἐγχειρημάτων. ἐμπεριείληφε μὲν νοὸς ὀξύτητι ἅπαν τὸ σύςημα τῆς βασιλείας, τῇ αὐτοῦ μεγαλονοίᾳ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

οἱονεὶ ψυχὴ κινῶν καὶ περιάγων αὐτὸ, ἀλλ᾽ οὐδὲ τὰ κατὰ μέρος αὐτὸν διαπέφευγε. κέκτηται γὰρ διηκριβωμένην μέχρι θαύματος γνῶσιν προσώπων τε καὶ πραγμάτων, ὥστε τὰ καιριώτατα τῶν ξυμπιπτόντων τῇ αὐτοῦ τέμνεσθαι περινοίᾳ, ἐξελεγχομένων ἅμα καὶ κολαζομένων ἐνίων δικαστῶν, τάς τε ἀρχὰς ἐκείνου νεύοντος τοῖς ἐπιτηδείως ἔχουσι χορηγεῖσθαι. ἐκείνη δ᾽ ἐξαίρετος βασιλέως ἀρετὴ τὸ πάλαι τὰς βασιλικὰς προσόδους εἰς τοὺς ἐνίων κόλπους ὑπορρεούσας, ἢ μὴ δεούσαις δαπάναις ἐξαντλουμένας, ἐν αὐτοῖς προοιμίοις τῆς ἀρχῆς, ἀξιομιμήτῳ διοικήσει εἰς τὰ βασιλικὰ μετοχετεύσαντα ταμεῖα, πολὺν κόσμον περιθεῖναι τῷ κράτει. οἱ γὰρ θησαυροὶ τῷ ὄντι νεῦρα πολέμου, καὶ κρηπὶς εἰρήνης, τῇ ἐπικαίρῳ χορηγίᾳ τῶν συντάξεων, καὶ τῇ παρασκευῇ τῶν εἰς μάχην ἀναγκαίων, ἀναρτῶντες τὸ στρατιωτικὸν, καὶ εἰς εὔνοιαν ἀνέλκοντες, τὸ δὲ πολέμιον εἰς φόβον καθιστάντες. Ἐπειδὴ δὲ εἴωθε τυποῦσθαι τὸ ὑπήκοον πρὸς τὴν βασιλέως γνώμην, τὸ οἰκονομικὸν καὶ ἐπὶ θήρᾳ καὶ φυλακῇ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

προσόδων εὐφυὲς τοῦ βασιλέως, μετέβη ϗ εἰς τοῦ ὑπηκόου τὰς ψυχὰς, ὥστε μονονουχὶ ἀπάσης τῆς Ὀθωμανῶν λήξεως ἐξεληλᾶσθαι τὸ δαπανηρὸν ϗ πολυτελές. Ἔστι δὲ ϗ φιλάνθρωπος πρὸς τὸ ὑπήκοον, ἀπαραιτήτως μετιὼν τοὺς οὕτω μετρίως χειριζομένους τὰς ἐμπεπιστευμένας αὐτοῖς ἀρχὰς, κατατρέχοντας δὲ παραλόγοις εἰσπράξεσι τοὺς ὑφ' ἑαυτοὺς, οὐ μήν γε ἀναπεπταμένας ἔχει τὰς ἀκοὰς τοῖς διαβάλλουσι τοὺς ἄρχοντας, τῇ τε τῶν ἐναμίλλων ἀνερεθίσει πολλὰ ϗ χαλεπὰ καταντλοῦσιν αὐτῶν. ἐμπειρίας γὰρ εὖ ἥκων, ϗ τὸ εἰς μοχθηρίαν ἐπιῤῥεπὲς τῶν ἀνθρώπων ἐπιστάμενος, μηδαμῶς ξυγχωρεῖ ἐπὶ τῇ τοῦ ὑπηκόου βουλήσει σαλεύειν τὰς ἀρχάς. δίδωσι δὲ ϗ ἐκείνοις καιρὸν ἀπολογίας, ὥστε τῇ ἐρεύνῃ τῶν ἑκατέρωθεν φοιτώντων λόγων ἀναλαμπούσης τῆς ἀληθείας, τοὺς μὲν κακῶς ἄρξαντας εὐθύνας διδόναι, τοὺς δὲ καθαροὺς φανέντας ἐν παρατάσει χρόνων ἀπολαύειν τῆς τε ἀρχῆς ϗ τῆς τοῦ βασιλέως χρηστῆς ὑπολήψεως. Πρὸς δὲ τοὺς δῶρα διδόντας ἢ λαμβάνοντας, ϗ τὸ κοι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

τῇ συνόλου ἰδίων ἕνεκα κερδῶν προϊεμένους, οὕτω πικρὸς ϗ αὐστηρός ἐστιν, ὥστε διὰ ταυτηνὶ ϗ μόνην τὴν ἐν τοῖς προσπεφυκυῖαν κηλῖδα, πολλοὺς καίτοιγε λίαν ἐπιτηδείως ἔχοντας, ϗ καλῶς ὑπουργοῦντας αὐτῷ, ἀνελεῖν ἐκ μέσου, ἵνα ϗ τὴν τῶν ἄλλων ὁρμὴν ἀναχαιτίσῃ.

Ἐν τούτῳ δὲ τοῦ λόγου γενομένοις ἡμῖν, ϗ τὰ ἐφεξῆς ὅσονγε ἐνεχώρει ἀφηγήσασθαι προθυμουμένοις, ἀπαντᾷ τις τῶν γνωρίμων τῶν μέχρις ὀνόματος ϗ ἐσθῆτος τὴν τῶν Τούρκων θρησκείαν ἀσκούντων, ἀλλ' ἐν παραβύστῳ τὴν πάτριον ἁγιστείαν ὅσον ἐφικτὸν τιμώντων, ὑπὸ δὲ φιλοζωΐας, ϗ τῆς ἄλλης περὶ τὸν βίον ῥᾳστώνης, ἀναδυομένων εἰς τὴν ὀφειλομένην φανερὰν τῆς ἐνδομυχούσης δόξης ὁμολογίαν· ὁ δ' ἡμῖν ἀπαντήσας τὸ γένος Σμυρναῖος ἦν, παιδίας ἐπειλημμένος τῆς τε καθ' ἡμᾶς ϗ τῆς θύραθεν· ὃς διὰ μακρᾶς περιηγήσεως „Πολ-„λῶν ἀνθρώπων ἴδεν ἄστεα, ϗ νόον ἔγνω“. ποικίλης δὲ πεπειραμένος τύχης διά τε πολυπειρίαν ϗ πολυμάθειαν κεχαρισμένος λίαν ἦν τοῖς ἐν τέλει τῶν Ὀθωμανῶν. Πάλαι δὴ ἡ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π.Π ΙΩΑΝΝΙΝΑ 2005

μήτε συνήθης ὢν ϗ τοῖς ξὺν ἡμῖν ξένοις, φιλοφρόνως προσεῖπεν ἡμᾶς, εἴς τε τὸν αὐτοῦ κῆπον πλησίον κείμενον, λιπαραῖς δεήσεσιν ἐκ ἄκοντας ἀπάγει, ὥρᾳ θέρους κεκμηκότας, ϗ ψυχαγωγίας γλιχομένους. μικρὸν ἄρ' εἰς τὸ πρόσω χωρήσαντες διὰ τοῦ στενωποῦ ἀπό τινος μικρᾶς θύρας ἐς τὴν ἔπαυλιν εἰσήλθομεν, παρ' ἧ ὁ κῆπος ἐξήπλωτο, κεκαλλωπισμένος ἀπό τε φύσεως ϗ τέχνης, ἐφ' ὑψηλοῦ γὰρ κείμενος λαμπροτάτην εἶχε πρόσοψιν. κατεπνέετο προσηνεστάταις αὔραις, ταῖς ἡλιακαῖς ἀκτῖσι κατελάμπετο, ὑψηλοῖς ϗ πολυφύλλοις δένδροις κατεσκίαστο, δάφναις, κυπαρίττοις, ἀμφιλαφεῖ κισσῷ κατημφίαστο, παμφόροις ἀναδενδράσι κατηγλάιστο, εἶχε πλῆθος ἡμέρων δένδρων, ῥοιῶν, μηλέων, περσικῶν, ἀπίων, ἄλλωντε παντοδαπῶν, ὧν τὰ πλεῖω ἐπειδὴ ὥρα θέρους ἦν, ἔβριθε παμπόλλοις ϗ παγκάλοις καρποῖς, βοηθούμενα δ' ἄττα ἀπὸ τῆς ἐπιμελείας ϗ τέχνης, ἐφιλοτιμοῦντο πρὸς τὴν φύσιν. προλαμβάνοντα δὴ τὸν τεταγμένον χρόνον, ἐδίδουν πρὸ καιροῦ τὰς ὀπώρας, αἷς ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
ΙΩΑΝΝΙΝΑ 2005

τῦ κήπου δεσπότης τῶν ἡδοναῖς διαῤῥεόντων τὴν ἐκδεδιῃτημένην γεῦσιν ἐκολάκευε, θηρώμενος εὔνοιαν· μέρος δὲ τῦ κήπου ἀποτμηθὲν, ποικίλοις σχήμασι διεκέκριτο, καὶ διέξικτο, μεστὸν ὂν πολυειδῶν καὶ ποικιλοχρόων ἀνθέων, ἃγε ἀθρόα προσβάλλοντα ταῖς ὄψεσι, θαυμασίως αὐτὰς ἔθελγε καὶ κατεκήλει τὴν ὄσφρησιν εὐοσμίας ἐμπιπλάντα, λεπτοτάτῃ θ' ἡδονῇ τὲς θεωμένες μεθύειν παρασκευάζοντα. ἀλλ' ὕτω ποικίλα ἦν τὰ εἴδη, τὰ χρώματα, τὰ ὀνόματα τῶν ἀ[...], ὥστε μόλις τὸν λίαν ἐμπείρως ἔχοντα ἐξισχύσαι διακρῖναι· ἔδει δὲ ὅπως αὐτὰ καταλλήλως ὀνομάσαιμεν, πολλὰς τῆς ἐπιχωρίυ τῶν Γέρμων διαλέκτυ φωνὰς καινὰς καὶ νεοπλάστες ἐς μέσον ἀγαγεῖν. ὁ γὰρ νῦν βασιλεὺς καίτοι γε ἐν τοῖς ἄλλοις τὸ οἰκονομικὸν τιμῶν, τό,τε δαπανηρὸν ὑ προσιέμενος, εἰς καλλωπισμὸν ὅμως κήπων, καὶ εἰς ἔρευναν εὐφυῆ πολλῶν καὶ ποικιλοχρόων ἀνθέων, ὔτε πόνυ φείδεται, ὔτε δαπάνης. δωρεαῖς δ' ἀμείβεται τὲς φιλοπονίᾳ καὶ γεωπονικῇ ἀγχινοίᾳ ἀνευρίσκοντας, καὶ εἰς φῶς ἄγοντας ἀν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2005

τά· εἰδὼς δὲ ϗ τὰς μικρὰς ϗ χαμαιζήλους ψυχὰς τιμῆς ἐρᾷν, ἐπὶ ταῖς ἄλλαις ἀμοιβαῖς, ξυγχωρεῖ καλεῖσθαι τὰ καινὰ τῶν ἀνθέων, τοῖς ὀνόμασι τῶν περιττῷ πόνῳ ϗ ἀγχινοίᾳ ἀνευρηκότων αὐτά.

Εἰς τοῦτο δὲ τὸ μέρος τῆς διηγήσεως ἀφιγμένοις ἀνακαλυπτέον τὴν σφαλερὰν ὑπόληψιν τῶν ὑποτοπαζόντων τὸ Ὀθωμανικὸν γένος παντάπασιν ἀλλότριον εἶναι γλαφυρότητος, ϗ εὐγενείας; ἀλλ' ἴσως εἴγ' εὐπορήσαιεν πολυτελῶν βίβλων νεωτέρων ἀνδρῶν, τῷόντι ἐλλογιμωτάτων, εἰ ἐπιτεύξαιντο τῶν χειραγωγησόντων εἰς αὐτὰ τὰ ἐνδόμυχα τῆς φύσεως, ϗ εἰς τὰ ἄδυτα τῆς μὴ φενακιζούσης, μυρίοις δ' ἀγαθοῖς πλουτιζούσης τὸν βίον χημείας, ἀπλέτῳ φιλομαθείᾳ ϗ φιλοπονίᾳ, ἀθροωτάταις τε συντάξεσι μαθητὰς αὐτοὺς ἐκάθισεν ἄν, διψώσῃ ψυχῇ ἀρυόμενοι τὰ ἀπὸ τῆς βεβαίου φιλοπονίας νάματα. Ἀλλ' ἡ τῶν νεωτέρων βιβλίων στέρησις, ϗ ἡ τῆς ἀσφαλεστέρας ϗ ἀπὸ τῶν αἰσθήσεων ἰθυνομένοις φιλοσοφίας ἄγνοια, ἐν αἰτίᾳ ἐστὶν, ὥστε τὸ ἐνδό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005